***ἀντειρομένων*** δὲ τὸν βασιλέα τῶν Ἰχθυοφάγων τῆς ζόης καὶ ***διαίτης*** ***πέρι***, ἔτεα μὲν ***ἐς*** ***εἴκοσι καὶ ἑκατὸν*** ***τοὺς πολλοὺς αὐτῶν*** ***ἀπικνέεσθαι***, ***ὑπερβάλλειν*** δὲ τινὰς καὶ ***ταῦτα***, σίτησιν δὲ ***εἶναι*** κρέα τε ***ἑφθὰ*** καὶ πόμα γάλα. ***θῶμα*** **δὲ ποιευμένων** ***τῶν κατασκόπων*** ***περὶ τῶν ἐτέων***, ***ἐπὶ κρήνην*** σφι ***ἡγήσασθαι***, **ἀπ᾽ ἧς** ***λουόμενοι*** λιπαρώτεροι ***ἐγίνοντο***, κατά περ εἰ **ἐλαίου** ***εἴη***· ***ὄζειν*** δὲ **ἀπ᾽ αὐτῆς** ὡς εἰ ἴων. ***ἀσθενὲς*** δὲ τὸ ὕδωρ τῆς κρήνης ταύτης ***οὕτω*** δή τι ***ἔλεγον*** ***εἶναι*** ***οἱ κατάσκοποι*** ὥστε μηδὲν οἷόν τ᾽ **εἶναι ἐπ᾽ αὐτοῦ** ***ἐπιπλέειν***, μήτε ***ξύλον*** μήτε **τῶν** ***ὅσα*** **ξύλου ἐστὶ** ***ἐλαφρότερα***, ἀλλὰ ***πάντα σφέα*** **χωρέειν** ἐς βυσσόν. τὸ δὲ ὕδωρ τοῦτο εἴ ***σφι*** ἐστὶ ***ἀληθέως*** οἷόν τι **λέγεται**, **διὰ τοῦτο** ἂν ***εἶεν***, **τούτῳ** τὰ πάντα χρεώμενοι, **μακρόβιοι**. **ἀπὸ τῆς κρήνης** δὲ ***ἀπαλλασσομένων***, ***ἀγαγεῖν*** *σφεας* ***ἐς δεσμωτήριον ἀνδρῶν***, ἔνθα **τοὺς πάντας ἐν πέδῃσι** χρυσέῃσι δεδέσθαι. ***ἔστι*** δὲ *ἐν τούτοισι τοῖσι Αἰθίοψι* ***πάντων*** **ὁ χαλκὸς** ***σπανιώτατον*** καὶ **τιμιώτατον**. ***θεησάμενοι*** δὲ καὶ τὸ δεσμωτήριον, ***ἐθεήσαντο*** καὶ **τὴν τοῦ ἡλίου λεγομένην** ***τράπεζαν***.

[Herodotus, *Historiae*, Liber III]